κόλακας φυλάξῃ, τοὺς ἐπὶ τῆς τραπέζης μόνον, τὰ ἄλλα δὲ κοράκων οὐδὲν διαφέροντας· οὐκ ἔτι πιστευτέα τῶν νῦν[117] οὐδενί· πάντες ἀχάριστοι, καὶ πονηροί· ἐγὼ δὲ τάλαντόν σοι κομίζων, ὡς ἔχοις πρὸς τὰ κατεπείγοντα χρῆσθαι, καθ' ὁδὸν ἤδη πλησίον ἤκουσα, ὡς πλουτοίης ὑπερμεγέθη τινὰ πλοῦτον· ἥκω τοιγαροῦν ταυτά σε νουθετήσων· καί τοι σύγε οὕτω σοφὸς ὢν, οὐδὲν ἴσως δεήσῃ τῶν παρ' ἐμοῦ λόγων, ὃς καὶ τῷ Νέστορι[118] τὸ δέον παραινέσειας ἄν.

ΤΙΜ. Ἔσται ταῦτα, ὦ Φιλιάδη· πλὴν ἀλλὰ πρόσιθι, ὡς καὶ σὲ φιλοφρονήσομαι τῇ δικέλλῃ.

ΦΙΛ. Ἄνθρωποι, κατέαγα[119] τοῦ κρανίου ὑπὸ τοῦ ἀχαρίστου, διότι τὰ συμφέροντα ἐνουθέτουν αὐτόν.

ΤΙΜ. Ἰδοὺ τρίτος οὗτος ὁ ῥήτωρ Δημέας προσέρχεται, ψήφισμα ἔχων ἐν τῇ δεξιᾷ, καὶ συγγενὴς ἡμέτερος εἶναι λέγων. Οὗτος ἑκκαίδεκα παρ' ἐμοῦ τάλαντα μιᾶς ἡμέρας ἐκτίσας τῇ πόλει· (κατεδεδίκαστο γὰρ, καὶ ἐδέδετο, οὐκ ἀποδιδοὺς, κἀγὼ ἐλεήσας ἐλυσάμην αὐτόν·) ἐπειδὴ πρώην ἔλαχε τῇ Ἐρεχθηΐδι φυλῇ[120] διανέμειν τὸ θεωρικὸν[121], κἀγὼ προσῆλθον αἰτῶν τὸ γιγνόμενον[122], οὐκ ἔφη γνωρίζειν πολίτην ὄντα με.

ΔΗΜ. Χαῖρε, ὦ Τίμων, τὸ μέγα ὄφελος τοῦ γένους, τὸ ἔρεισμα τῶν Ἀθηναίων, τὸ πρόβλημα[123] τῆς Ἑλλάδος· καὶ μὴν πάλαι σε ὁ δῆμος ξυνειλεγμένος, καὶ αἱ βουλαὶ ἀμφότεραι περιμένουσι· πρότερον δὲ ἄκουσον τὸ ψήφισμα, ὃ ὑπὲρ σοῦ γέγραφα· « Ἐπειδὴ Τίμων ὁ Ἐχεκρατίδου, Κολυττεὺς, ἀνὴρ οὐ μόνον καλὸς κἀγαθὸς, ἀλλὰ καὶ σοφὸς, ὡς οὐκ ἄλλος ἐν τῇ Ἑλλάδι, παρὰ πάντα χρόνον διατελεῖ τὰ ἄριστα πράττων τῇ πόλει· νενίκηκε δὲ πὺξ, καὶ πάλην, καὶ δρόμον, ἐν Ὀλυμπίᾳ μιᾶς ἡμέρας, καὶ τελείῳ[123*] ἅρματι καὶ συνωρίδι πωλικῇ ».

ΤΙΜ. Ἀλλ' οὐδὲ ἐθεώρησα ἐγὼ πώποτε εἰς Ὀλυμπίαν.

ΔΗΜ. Τί οὖν; θεωρήσεις ὕστερον· τὰ τοιαῦτα δὲ πολλὰ προσκεῖσθαι ἄμεινον· « καὶ ἠρίστευσε δὲ ὑπὲρ τῆς πόλεως πέρυσι πρὸς Ἀχαρνέας[124], καὶ κατέκοψε Πελοποννησίων δύο μοίρας[124] ».

ΤΙΜ. Πῶς; διὰ γὰρ τὸ μὴ ἔχειν ὅπλα, οὐδὲ προεγράφην ἐν τῷ καταλόγῳ[125].

ΔΗΜ. Μέτρια τὰ περὶ σαυτοῦ λέγεις, ἡμεῖς δὲ ἀχάριστοι ἂν εἴημεν ἀμνημονοῦντες· « ἔτι δὲ καὶ ψηφίσματα γράφων καὶ συμβουλεύων, καὶ στρατηγῶν, οὐ μικρὰ ὠφέλησε τὴν πόλιν· ἐπὶ τούτοις ἅπασι, Δέδοκται τῇ βουλῇ, καὶ τῇ Ἡλιαίᾳ κατὰ φυλὰς, καὶ τοῖς δήμοις ἰδίᾳ, καὶ κοινῇ πᾶσι, χρυσοῦν ἀναστῆσαι τὸν Τίμωνα παρὰ τὴν Ἀθηνᾶν ἐν τῇ ἀκροπόλει, κεραυ-

---

117) Τῶν σημερινῶν ἀνθρώπων. 118) Ὡς τῷ φρονιμωτέρῳ μεταξὺ τῶν κατὰ τῆς Τρῳάδος στρατευσάντων Ἑλλήνων. 119) Κατάγνυμι· ἡ δὲ γενικὴ ἐλλειπτικὴ προθέσεως.

120) Ἐκ τῆς ὁποίας ἦτον καὶ ὁ Τίμων. Ἀλλ' ὁ δῆμος Κολυττὸς ἐτέλει, κατὰ τὸν Ἁρποκρατ. καὶ Σουΐδαν, εἰς τὴν Αἰγηΐδα φυλήν. 121) Ἴδε τὸ Λεξικόν. 122) Τὸ ἐπιβάλλον μοι μέρος.

123) Προπύργιον, πρόμαχος. 123*) Τὸ ἐκ τελείων τὴν ἡλικίαν ἵππων συρόμενον, διότι τὸ μὴ τοιοῦτον ἐλέγετο Πωλικόν. 124) Δῆμος τῆς Ἀττικῆς οἱ Ἀχαρνέες-εῖς, τὸ νῦν Μενίδι· ἡ δὲ Πρὸς ἀντὶ τῆς Περὶ ἢ Παρά. Τῶν δὲ Σχολιαστῶν τις διορθοῦν ἐπεβάλετο Ἀκαρνᾶνας.

124*) Ἡ στρατιωτικὴ μοῖρα καὶ, κατὰ τοὺς Λάκωνας, Μόρα συνέκειτο ἐκ 500 ἀνδρῶν.

125) Τῶν στρατευομένων.